A ἢν τὴν οὐσίαν τοῦ μὴ φέροντος τόδε τὸ τέλος τῇ πόλει ὀφειλόμενον, εἶναι δημοσίαν, εἴτε δημοσιεύεσθαι. ὃ καὶ δηλοῖ Σουίδας ἐν τῷ πωλητάς. πωληταί, φησι, τῶν ὀφειλόντων τῷ δημοσίῳ κατὰ προθεσμίαν, καὶ μὴ ἀποδιδόντων, ἐπίπρασκον τὰς οὐσίας. ὑπέκειντο δὲ τοῖς πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον. ἔτι καὶ οἱ ξενίας ἁλόντες. καὶ ὁ μέτοικος, καὶ προστάτην οὐκ ἔχων. καὶ ὁ ἀποστασίου γραφείς. τούτων γὰρ τὰς οὐσίας πωλοῦντες παραχρῆμα κατέβαλον εἰς τὸ δημόσιον. Ἁρποκρατίων δὲ περὶ τῆς πεντηκοστῆς ταῦτα λέγει. πεντηκοστή, καὶ πεντηκοστεύεσθαι, καὶ πεντηκοστολόγοι. πεντηκοστὴ μέν, τέλος τι. καὶ πεντηκοστολόγοι, οἱ τοῦτο τὸ τέλος ἐκλέγοντες. πεντηκοστεύεσθαι δέ, ἀντὶ τοῦ πράττεσθαι τὴν πεντηκοστήν. ταῦτα δὲ ἔστιν εὑρεῖν ἔν τε τῷ κατὰ Μειδίου, καὶ ἐν τῷ πρὸς τὴν Λακρίτου παραγραφὴν Δημοσθένους. καὶ Ὑπερείδου ἐν τῷ περὶ τῶν Εὐβούλου δωρεῶν. ταὐτὸν καὶ ὁ Σουίδας γράφει. ἐνταῦθα δὲ ὁ Ἀριστοφάνης ἴσως γέλωτος χάριν πεντακοσιοστήν, ἀντὶ τοῦ πεντηκοστὴν εἶπεν. ὁ μέντοι τούτων νοῦς ἐστί, πρὸς τοῦτο ἐμὲ ἀναγκάζειν οὐ δύνῃ, εἰ μὴ τὴν πεντακοσιοστὴν ὑπὲρ ἐμοῦ τῇ πόλει κατέθηκας.

B

Νε. Λέγ' αὐτὸ τί ποτε κἄστι. Γρ. καὶ δή σοι λέγω.
Ἔδοξε ταῖς γυναιξίν· ἢν ἀνὴρ νέος
Νέας ἐπιθυμῇ, μὴ σποδεῖν αὐτὴν, πρὶν ἂν
Τὴν γραῦν προκρούσῃ πρῶτον· ἢν δὲ μὴ θέλῃ
Πρότερον προκρούειν, ἀλλ' ἐπιθυμῇ τῆς νέας,
Ταῖς πρεσβυτέραις γυναιξὶν ἔστω τὸν νέον
Ἕλκειν ἀνατὶ λαβομένας τοῦ παττάλου.
Νε. Οἴμοι Προκρούστης τήμερον γενήσομαι.
Γρ. Τοῖς γὰρ νόμοις τοῖς ἡμετέροισι πειστέον.
Νε. Τί δ' ἢν ἀφαιρῆταί μ' ἀνὴρ τῶν δημοτῶν
Ἢ τῶν φίλων ἐλθόντες; Γρ. ἀλλ' οὐ κύριος
Ὑπὲρ μέδιμνόν ἐστ' ἀνὴρ οὐδεὶς ἔτι.
Νε. Ἐξωμοσία δ' οὐκ ἔστιν. Γρ. οὐ γὰρ δεῖ στροφῆς.
Νε. Ἀλλ' ἔμπορος εἶναι σκήψομαι. Γρ. κλάεις σύ.
Νε. Τί δῆτα χρὴ δρᾶν; Γρ. δεῦρ' ἀκολουθεῖν ὡς ἐμέ.
Νε. Καὶ ταῦτ' ἀνάγκη μοὐστί. Γρ. Διομήδειά γε.
Νε. Ὑποστόρεσαι νῦν πρῶτα τῆς ὀριγάνου
Καὶ κλήμαθ' ὑπόθου συγκλάσασα τέτταρα,
Καὶ ταινίωσαι, καὶ παράθου τὰς ληκύθους.
Ὕδατός τε κατάθου τοὔστρακον πρὸ τῆς θύρας.
Γρ. Ἦ μὴν ἔτ' ὠνήσει σὺ καὶ στεφάνην ἐμοί.
Νε. Νὴ τὸν Δί' ἢν περί γε που τῶν κηρίων.
Οἶμαι γὰρ ἔνδον διαπεσεῖσθαί σ' αὐτίκα.

*IV. Dic, ipsum quid est?* AN. *& iam tibi dico,*
*Apparuit mulieribus, si vir iuuenis*
*Iuuenem cupiat, non subagitare ipsam, antequam*
*Vetulam pulset primùm: si autem non velit,*
*Prius pulsare, sed cupiat iuuenem,*
*Vetulis mulieribus sit iuuenem*
C *Trahere in aliquid capientes claui.*
IV. *Hei mihi, verberator hodie fiam?*
AN. *His enim legibus nostris obediendum.*
IV. *Quid autem, si auferet me vir ciuium*
*Vel amicorum venientes?* AN. *sed non dominus,*
*Super mensuram est vir nullus amplius.*
IV. *Periurium autem non est.* AN. *non enim opus est versione.*
D
IV. *Sed mercator esse causabor.* AN. *Fleas tu.*
IV. *Quid certè oportet facere?* AN. *Huc sequi ad me.*
IV. *Et hæc necessitas mei est.* AN. *Diomedea.*
IV. *Sterne nunc primùm origano,*
*Et vites suppone frangens quatuor,*
*Et coronam, & appone lecythos,*
E *Aquæque puræ lagenam ante ianuam.*
AN. *Certè quidem emes tu & coronam mihi.*
IV. *Per Iouem si circa cerea,*
*Puto enim intus cadere te statim.*

Σχόλια. Ἀνατί.] μὴ τιμωρουμένας ὑπὸ τῆς βίας. Προκρούστης.] ἐπεὶ πολλάκις εἴρηται τὸ κρούειν.

BISETVS. Προκρούστης ἐπωνυμία λῃστοῦ τινος, οὗ μέμνηται Παυσανίας ἐν τοῖς Ἀττικοῖς οὕτω γράφων, πρὸς τούτῳ τῷ Κηφισσῷ λῃστὴν Πολυπήμονα ὄνομα, Προκρούστην δὲ ἐπίκλησιν Θησεὺς ἀπέκτεινεν. πρὸς τοῦτον δ' ἴσως Ἀριστοφάνης παίζει.

Σχόλια. Ὑπὲρ μέδιμνον] νόμος ἦν ταῖς γυναιξίν, ὑπὲρ μέδιμνον τι μὴ συναλλάσσειν. οὐκ ἔσονται οὖν φησιν οἱ ἄνδρες ὑπὲρ μέδιμνον κύριοι ἐπειδὴ ἀντέστραπται ἡ πολιτεία. Ἐξωμοσία] ἔνορκος παραίτησις δι' εὔλογον αἰτίαν. ἐξωμοσία ὅταν τις φάσκῃ ἢ ὑπὲρ ἑαυτοῦ ἢ ὑπὲρ ἑτέρου ἐγκαλούμενος μὴ δεῖν εἰσάγεσθαι δίκην. εἶτα καὶ τὴν αἰτίαν δι' ἣν οὐκ εἰσαγώγιμος ἡ δίκη, εἰ δοκεῖ κατὰ λόγον F ἀξιοῦν, ἐδίδοτο αὐτῷ ἐξωμοσία γενέσθαι. καὶ οὕτως διεγράφετο ἡ δίκη. καὶ ἐξωμόσατο ἀπηγόρευσε. καὶ ἐξωμόσασθαι τὸ μεθ' ὅρκου ἀπαρνήσασθαι πρᾶξίν τινα διὰ νόσον ἢ πρόφασιν ἑτέραν τινά. Ἔμπορος] προφασίσομαι εἶναι ἔμπορος ἐπεὶ οὐκ ἐστρατεύοντο οἱ ἔμποροι. Διομήδεια] ὅτι Διομήδης ὁ Θρᾷξ, πόρνας ἔχων θυγατέρας τοὺς παριόντας ξένους ἐβιάζετο αὐταῖς συνεῖναι, ἕως οὗ κόρον σχῶσι καὶ ἀναλωθῶσιν οἱ ἄνδρες. ἃς καὶ ὁ μῦθος ἵππους ἀνδροφόνους εἶπεν. Ταινίωσαι] στεφάνωσαι ὡς οἱ νεκροί. Στεφάνην.] εἶδος κοσκίνου, διαπεσεῖσθαι δέ, τεθνήξεσθαι.

G

ΕΤΕΡΑ ΝΕΑ, ΓΡΑΥΣ, ΝΕΟΣ.

Νε. ΠΟΙ τοῦτον ἕλκεις σύ; Γρ. τὸν ἐμαυτῆς εἰσάγω.

ALIA IVVENCVLA, ANVS, IVVENIS.

IVVE. QVò hunc trahis tu? AN. *hunc mei ipsius induco.*

Νε. Οὐ